

## ἘΝ ΤΩ ΜΕΓΑΛΩ ἙΣΠΕΡΙΝΩ

Δοξολογήσαντος τοῦ Ἱερέως διὰ τοῦ Δόξα τῇ Ἁγία καὶ Ὁμοουσίω ψάλλεται τὸ Χριστὸς Ἀνέστη γ΄ ἐκ τοῦ Βήματος καὶ ἐν συνέχεια ὑπὸ τῶν Χορῶν λέγοντος τοῦ ἱερέως καὶ τοὺς διατεταγμένους στίχους ὡς καὶ το Δόξα ,Καὶ νῦν, καὶ θυμιῶντος ὡς εἴθισται. Εἶτα ψάλλεται ἀργὸν Χριστὸς Ἀνέστη καὶ θυμιὰ ὁ Ἱερεὺς τὸν λαὸν. Κατόπιν τούτων ἐκφωνοῦνται τὰ Εἰρηνικά.

**Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· εἰσάκουσόν μου Κύριε. Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου· ἐν τῷ κεκραγέναι με πρὸς σέ, εἰσάκουσόν μου Κύριε.**

**Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή, εἰσάκουσόν μου Κύριε.**

**Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.**

Διὰ τοῦ τιμίου σου Σταυροῦ Χριστέ, διάβολον ᾔσχυνας, καὶ διὰ τῆς Ἀναστάσεώς σου, τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας, καὶ ἔσωσας ἡμᾶς, ἐκ τῶν πυλῶν τοῦ θανάτου, δοξάζομέν σε Μονογενές.

**Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.**

Ο τὴν Ἀνάστασιν διδοὺς τῷ γένει τῶν ἀνθρώπων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, ἔφριξαν τοῦτον οἱ ἄρχοντες τοῦ Ἅδου, καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί, εἰσελήλυθε γὰρ ὁ Βασιλεὺς τῆς δόξης Χριστός, λέγων τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύπτεσθε.

**Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε·Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.**

Μέγα θαῦμα! ὁ τῶν ἀοράτων Κτίστης, διὰ φιλανθρωπίαν σαρκὶ παθῶν, ἀνέστη ὁ ἀθάνατος. Δεῦτε πατριαὶ τῶν ἐθνῶν, τοῦτον προσκυνήσωμεν, τὴ γὰρ αὐτοῦ εὐσπλαγχνία ἐκ πλάνης ῥυσθέντες, ἐν τρισὶν ὑποστάσεσιν, ἕνα Θεὸν ὑμνεῖν μεμαθήκαμεν.

**Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.**

Ἑσπερινὴν προσκύνησιν προσφέρομέν σοὶ τῷ ἀνεσπέρῳ Φωτί, τῷ ἐπὶ τέλει τῶν αἰώνων ὡς ἐν ἐσόπτρῳ διὰ σαρκός, λάμψαντι τῷ κόσμῳ, καὶ μέχρις Ἅδου κατελθόντι, καὶ τὸ ἐκεισε σκότος λύσαντι, καὶ τὸ φῶς τῆς Ἀναστάσεως τοὶς ἔθνεσι δείξαντι, φωτοδότα Κύριε δόξα σοί.

**Εὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.**

Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων

Δεῦτε πιστοὶ συνελθόντες, ὕμνοις τιμήσωμεν Νικόλαον τὸν Νέον, τὸν ἀσκήσει μὲν πρῶτον, εἶτα δὲ ἀθλήσει τὸν πτερνιστήν, καταβαλόντα διάβολον· καὶ συμπολίτην ὀφθέντα μάρτυσι νῦν, καὶ ἀγγέλοις ἰσοστάσιον.

**Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.**

Δεῦτε πιστοὶ συνελθόντες, ὕμνοις τιμήσωμεν Νικόλαον τὸν Νέον, τὸν ἀσκήσει μὲν πρῶτον, εἶτα δὲ ἀθλήσει τὸν πτερνιστήν, καταβαλόντα διάβολον· καὶ συμπολίτην ὀφθέντα μάρτυσι νῦν, καὶ ἀγγέλοις ἰσοστάσιον.

**Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.**

Ὡς ἀκαθαίρετον πύργον, ταῖς τοῦ ἐχθροῦ προσβολαῖς, ἀναφανέντα ὄντως, ὀρθοδόξων τε σθένος, τεῖχος καὶ βεβαίαν, σκέπην ἡμῶν, τὸν Νικόλαον μέλψωμεν· ἵνα πρεσβεύῃ Κυρίῳ ὑπὲρ ἡμῶν, τῶν τιμώντων νῦν τὴν μνήμην αὐτοῦ.

**Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.**

Εὐφα πᾶσα Ἑλλάς τε, χαῖρε καὶ χόρευε, καὶ τῶν Βουνένων τόπος, Νικολάου τοῦ Νέου·ἀσκήσει καὶ ἀθλήσει ἐκλάψαντος νῦν, καὶ πηγάζοντος θαύματα, τοῖς προσιοῦσιν ἐν πίστει εἰλικρινεῖ, καὶ Χριστὸν ἁγνῶς δοξάζουσιν.

**Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί,**

Πυρακτωθεὶς τῇ ἀγάπῃ, τοῦ Παντοκράτορος· Νικόλαε τρισμάκαρ ἡδονὰς τοῦ σαρκίου, κατέσβεσας ἐμφρόνως, δρόσῳ σοφέ, πόνων τῶν τῆς ἀσκήσεως, καὶ τῆς ἀθλήσεως στέφει ὡραϊσθείς, τῶν Ἀγγέλων συνευφραίνῃ χοροῖς.

**Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰώνα.**

Διπλῆν χαρὰν ἐσχηκότες, τῇ ἀναστάσει Χριστοῦ, καὶ τῇ σεπτῇ ἀθλήσει, τοῦ σοφοῦ Νικολάου· διπλοῦς οὖν καὶ τοὺς ὕμνους προσάγωμεν νῦν, καὶ θερμῶς ἀνακράζωμεν. Σῶσον ἡμᾶς πανάγιε Βασιλεῦ, Νικολάου ταῖς ἐντεύξεσιν.

Δόξα...Ἦχος πλ. β ΄.

Δεῦτε ἑῷα πλήθη καὶ ἑσπέρια, δεῦτε καὶ τοῖς στέμμασι τῶν εὐφημιῶν ἀναδήσωμεν, τὸν Ὅσιον καὶ μάρτυρα Νικόλαον, τὸν ἐν Βουνένοις ἀθλήσαντα, καὶ τὴν πλευρὰν λογχευθέντα ὡς ὁ Δεσπότης Ἰησοῦς, ὑπὲρ οὗ προθύμως καὶ τὴν κεφαλὴν ἀπετμήθη. Διὸ παρ' αὐτὸ συναγάλλεται καὶ ἱκετηρίαν ποιεῖται ὑπὲρ ὑμῶν, τῶν ἐν πίστει ὑμνούντων αὐτοῦ τὴν ἄθλησιν.

Καὶ νῦν... Θεοτοκίον
Ἦχος πλ. α΄.

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειραγάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος, τότε τὸν βυθόν ἐπέζευσεν ἀβρόχως, Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος, ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος, ὁ ὢν καὶ προῶν, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἴσοδος· τὸ Φῶς ἱλαρόν,
τὸ Προκείμενον
Ἦχος βαρὺς.

Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου καὶ μὴ ὑπερίδης τὴν δέησίν μου.

Στίχ. Προσχες μοὶ καὶ εἰσάκουσόν μου.
Στίχ. Ὅτι ἐξέκλιναν ἔπ ἐμὲ ἀνομίαν.
Στίχ. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα.

καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.
Κεφ.ΜΓ΄ 9 - 14

Τάδε λέγει Κύριος, πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔσται πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμί, καὶ οὔκ ἐστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καί τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
Κεφ. Γ΄ 1 - 9

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
Κεφ. Ε΄ 15

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους, ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν, λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν, ἐνδύσεται θώρακα, δικαιοσύνην, περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες, πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

## Εἰς τὴν Λιτήν.
Ἰδιόμελα.
Ἦχος α΄.

Ὅσιε καὶ μάρτυς Νικόλαε· σὺ τοῦ ἀμηχάνου κάλλους τοῦ Χριστοῦ ἐφιέμενος, ῥέουσαν δόξαν, καὶ ἡδονὰς τὰς τοῦ σώματος κατεφρόνησας, διὸ ἀσκήσει καὶ ἀθλήσει ὑπερεκλάμψας, ὡς Ἥλιος λάμπων

παρίστασαι τῷ Χριστῷ, καὶ διηνεκῶς αὐτῷ πρεσβεύεις, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Τὴν στενὴν καὶ τεθλιμμένην τρίβον διοδεύσας, κατὰ τὴν φωνὴν τοῦ Δεσπότου, παμμάκαρ Νικόλαε· καὶ νηστείαις καὶ κακουχίαις, τὴν σάρκα καταμαράνας ὑπερφυῶς, τὸν δυσμενῆ τῶν ψυχῶν κατέρραξας· καὶ νῦν μετ᾽ Ἀγγέλων εὐφραίνῃ ἀοίδιμε· τὸν Σωτῆρα δυσωπῶν, τοῦ σωθῆναι ἡμᾶς, ἐκ παντοίων κινδύνων καὶ περιστάσεων.

Ἦχος γ΄.

Πῶς μὴ θαυμάσωμεν τοὺς ἀσκητικούς σου καὶ μαρτυρικοὺς πόνους πανσεβάσμιε; Σὺ γὰρ ἐξ ἑῴας ἐν Βουνένοις ἐλθών, ὡς κρίνον ἀσκητῶν καὶ ἀθλητῶν, ὡς ἐν λειμῶνι ἐξήνθησας· καὶ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, πνοαῖς βασάνων ποικίλων, τῇ τοῦ Πνεύματος χάριτι εὐωδίασας· διὸ καὶ ἡμεῖς ὡς θερμὸν προστάτην σε κεκτημένοι, δεόμεθά σου ἐκτενῶς, ἵνα πρεσβεύῃς Χριστῷ, ὅπως ἵλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος δ΄.

Πηγὴν ἰαμάτων κεκτημένος, ἅγιε Νικόλαε, τὰς ἰάσεις ἑκάστοτε τοῖς δεομένοις παρέχεις, ὡς ἀπείρων δωρεῶν ἀξιωθείς, παρὰ τῆς ἀενάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ· οὗ καὶ τῶν παθημάτων κοινωνὸς γενόμενος, ἀσκηταῖς καὶ μάρτυσι συγχορεύεις αἰώνια· οἶδε γὰρ δοξάζειν τοὺς αὐτὸν ἀντιδοξάζοντας, καὶ τὰ βραβεῖα παρέχειν, τοῖς ὑπὲρ αὐτοῦ ἠθληκόσιν· ὡς ἔχων οὖν παρρησίαν μεγίστην πρὸς αὐτόν, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα... Ἦχος πλ. α΄.

Στίφη Ὁσίων καὶ Μαρτύρων, τὴν ἔνδοξον ἄθλησιν Νικολάου τοῦ Νέου ἐθαύμασαν, καταπλαγέντα τὴν ἀκλινῆ καρτερίαν αὐτοῦ. Χοροί τε Ἀγγέλων ἐπεκρότησαν ἐξαισίως, καὶ παραλαβόντες τὴν ἀοίδιμον τοῦ Μάρτυρος ψυχήν, μοναῖς αἰωνιζούσαις χαρμοσύνως ἐντεθείκασιν· ἣ καὶ λαμπρῶς παρισταμένη τῷ τρισακτίνῳ τῆς Τριάδος φωτί, ὑπὲρ τοῦ κόσμου πρεσβεύει τοῦ λυτρωθῆναι, ἐπηρείας τοῦ ἀλάστορος.

Καὶ νῦν...

Ἦχος πλ. α΄.

Κύριε ὁ τὸν Ἅδην σκυλεύσας, καὶ τὸν θάνατον πατήσας, Σωτὴρ ἡμῶν, ὁ φωτίσας τὸν κόσμον τῷ Σταυρῷ τῷ τιμίῳ, ἐλέησον ἡμᾶς.

Αἱ συνήθεις Εὐχαὶ παρὰ τοῦ Ἱερέως κ.λ.π.

Εἰς τὸν Στίχον.

Ἦχος πλ. α΄.

Σὲ τὸν Σαρκωθέντα Σωτῆρα Χριστόν, καὶ τῶν οὐρανῶν μὴ χωρισθέντα, ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν, ὅτι σταυρὸν καὶ θάνατον κατεδέξω, διὰ τὸ γένος ἡμῶν, ὡς φιλάνθρωπος Κύριος, σκυλεύσας Ἅδου πύλας, τριήμερος ἀνέστης, σώζων τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὰ Στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν Στίχων αὐτῶν.

Ἦχος πλ. α΄.

Στίχ. **Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.**

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, Πάσχα καινόν, Ἅγιον, Πάσχα μυστικόν, Πάσχα πανσεβάσμιον, Πάσχα Χριστὸς ὁ λυτρωτής, Πάσχα ἄμωμον, Πάσχα μέγα, Πάσχα τῶν πιστῶν, Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν, Πάσχα, πάντας ἁγιάζον πιστούς.

Στίχ. **Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.**

Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ᾽ ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ, τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

Στίχ. **Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.**

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. **Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.**

Πάσχα τὸ τερπνόν, Πάσχα Κυρίου, Πάσχα, Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε, Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα, ὢ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

Δόξα... Ἦχος πλ. δ΄.

Τῶν φιλεόρτων τὸ σύστημα, δεῦτε πνευματικῶς εὐφρανθῶμεν καὶ πανηγυρίσωμεν· ἰδοὺ γὰρ ἐξέλαμψεν ἡ φαιδρά, καὶ πάμφωτος μνήμη, τοῦ ἐξ ἑῴας ἐν μάρτυσι Νικολάου· ὃς ἐν ἀσκήσει τὴν σάρκα νεκρώσας, τῷ μαρτυρικῷ στέφει κεκόσμηται· διὸ καὶ ἡ σορὸς τῶν θείων Λειψάνων αὐτοῦ, ἀφθόνως πηγάζει τοῖς πιστοῖς τὰ ἰάματα, τοῖς προσιοῦσι μετὰ πόθου καὶ πιστῶς ἑορτάζουσι, τὴν ἔνδοξον αὐτοῦ ἄθλησιν, οὗ ταῖς πρεσβείαις Χριστέ, ἐλέησον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... τῆς Ἑορτῆς.
Ἦχος πλ. α᾽

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Τὸ Χριστὸς Ἀνέστη , Δόξα τὸ Ἀπολυτίκιον
Ἦχος δ΄. Ὡς τῶν αἰχμαλώτων.

Ὡς τῶν νοσούντων ὁ ἄμισθος ἰατρός, καὶ τῶν ἐν κινδύνοις ἀπροσμάχητος βοηθός, θλιβομένων τε θερμὸς ὑπερασπιστής, καὶ τῶνἐν παντοίαις ἀνάγκαις ὑπέρμαχος, Ὁσιομάρτυς ἐξ ἑῴας Νικόλαε˙ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

(Ἦχος α΄. Τῆς ἐρήμου.

Ἐξ Ἑῴας ἐκλάμψας, ἐν Βουνένοις ἠγώνισαι Νικόλαε Παμμάκαρ ἐναθλήσας στερρότατα. Διό καί δοξασθείς παρά Χριστοῦ, θαυμάτων ἀναβλύζεις δωρεάς τοῖς προστρέχουσι τῷ λειψάνῳ σου τῷ σεπτῷ, Ὁσιομάρτυς ἔνδοξε. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, Δόξα τῷ Σέ στεφανώσαντι, Δόξα τῷ ἐνεργοῦντι διά σοῦ πᾶσιν ἰάματα.)

Καὶ νῦν... Χριστὸς Ἀνέστη.

Καὶ θυμιὰ ὁ Ἱερεὺς τοὺς ἄρτους καὶ εὐλογεῖ αὐτούς.Εἶτα τὸ Εὐλογία Κυρίου καὶ ἡ Ἀπόλυσις διαλογικῶς.

Ἀπόλυσις.



Προσόμοια.

Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Δύνανται νὰ ψαλλοῦν κατὰ τὴν διανομὴν τοῦ ἄρτου.

Στίχ.**Πεφυτευμένος ἐν Οἴκῳ Κυρίου.**

Χαίροις ἀσκητικοὺς ἀληθῶς, μαρτυρικούς τε ὑποστὰς πόνους ἅγιε, Νικόλαε ἐν Βουνένοις, οἷα ἀδάμας στεῤῥός, πρὸς τὰς παρατάξεις ἐνστησάμενον· ἐχθρῶν τῶν ἀθέων, θύειν εἰδώλοις πειθώντων σε, καὶ πειρωμένων, σοῦ τὸν πύργον τῆς πίστεως, βάλλειν τάχιστα, προσκυνεῖν τε τὰ ξόανα· σὺ δὲ ἐνδυναμούμενος, δυνάμει τοῦ Πνεύματος ᾔσχυνας τούτους ἐμφρόνως, ὁμολογίᾳ τῆς πίστεως· Χριστοῦ τοῦ Σωτῆρος, δι᾽ ἧς εὗρες σωτηρίαν καὶ μέγα ἔλεος.

Στίχ. **Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.**

Χαίροις τῶν μοναστῶν καλλονή, καὶ τῶν Μαρτύρων τὸ φαιδρὸν ἀγαλλίαμα, ἡ γλῶσσα ἡ ὀξυτάτη, ὁ διαυγὴς ὀφθαλμός, ἐν Βουνένων τόπῳ ὥς περ ἥλιος· λαμπρῶς ἀπαστράψας, ἐνθέοις μάκαρ χαρίσμασι,καθωράϊσας τὴν ψυχὴν σὺν τῷ σώματι, ἀπαθείᾳ τε καὶ πολλῇ ὁσιότητι· χαίροις στῦλε τῆς πίστεως, καὶ τεῖχος ἀκράδαντον, κῆρυξ Τριάδος τῆς θείας, Πατρὸς Υἱοῦ τε καὶ Πνεύματος· ἣν νῦν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. **Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Χαίροις ὡς νικητὴς τῶν παθῶν, καὶ τῶν ἐχθρῶν τοῦ Χριστωνύμου πληρώματος, ὡς λύκων ἠγριωμένων, ἐφορμησάντων ἐν σοί, ἐν Βουνένοις μάκαρ ἡσυχάζοντι· ἐν οἷς καὶ τὸ μέλι τῆς ἀρετῆς ἐργαζόμενος, ἐπιστηρίζων τοὺς σὺν σοὶ οὓς ἐτύγχανες, καὶ βοῶν αὐτοῖς, μετὰ θάρσους ἀντίστητε· μὴ ὅλως δειλανδρίσωμεν, πρὸς πίστιν τὴν ἔνθεον, ἀλλὰ τὸ σῶμα προδόντες, ψυχὰς Κυρίῳ προσάξω- μεν· παρ᾽ οὗ ἡ εἰρήνη, καὶ ἡ ἄφεσις σφαλμάτων καὶ μέγα ἔλεος.





## ΕἸΣ ΤΟΝ ὌΡΘΡΟΝ

Δοξολογήσαντος τοῦ Ἱερέως διὰ τοῦ Δόξα τῇ Ἁγία καὶ Ὁμοουσίω ψάλλεται τὸ Χριστὸς Ἀνέστη γ' ἐκ τοῦ Βήματος καὶ ἐν συνεχεία ὑπὸ τῶν Χορῶν λέγοντος τοῦ ἱερέως καὶ τοὺς διατεταγμένους στίχους ὡς καὶ το Δόξα (λέγομεν το Ἀπολυτίκιον τοῦ Ἁγίου) Καὶ νῦν, καὶ θυμιῶντος ὡς εἴθισται.Εἶτα ψάλλεται ἀργὸν Χριστὸς Ἀνέστη καὶ θυμιὰ ὁ Ἱερεὺς τὸν λαὸν. Κατόπιν τούτων ἐκφωνοῦνται τὰ Εἰρηνικά.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἀγγέλων τάγματα, μάκαρ ἐθαύμασαν, τὴν καρτερίαν σου, ἐν τῇ ἀθλήσει σου· τὸ σὸν γὰρ Νικόλαε σεπτόν, σῶμα λόγχῃ ἐτρώθη· σπαραγμοὺς ὑπήνεγκας, μαστιζόμενος ἔφερες, χαίρων τε ὑπέμεινας, κεφαλῆς τὴν ἀφαίρεσιν, διὸ τῷ Χριστῷ συμβασιλεύῃς, ὑπὲρ ἡμῶν αὐτῷ πρεσβεύων.

Δόξα... Καὶ νῦν... τῆς Ἑορτῆς.

Ἅδην ἔδησας, τῇ σῇ Ἐγέρσει, καὶ ἀνέστησας, τὸν νεκρωθέντα, ζωοδότα πρωτόπλαστον ἄνθρωπον. Ὅθεν τὴν σὴν ἀνυμνοῦμεν Ἀνάστασιν, ἐν ᾗ Νικολάου τὴν μνήμην ἐδόξασας· οὗ δεήσεσιν, ἀξίωσον ἡμᾶς Κύριε, του αἰωνίου Πάσχα ὡς φιλάνθρωπος.

Οἱ Ἀναβαθμοί.
Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄. Ἦχου καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει· καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, ἐξανθήσει.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...
Ζήτει ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγ. Δημητρίου.

Το Ανάστασιν Χριστού θεασάμενοι

Δόξα... Ἦχος β΄.

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.
καὶ ψάλλομεν τὸ παρὸν ἰδιόμελον τοῦ Ἁγίου.
Ἦχος πλ. β΄.

Ὁσιομάρτυς Νικόλαε, ἀθλοφόρε τοῦ Χριστοῦ γενναιότατε· σὺ ἐκ τῆς ἑῴας ὁρμώμενος, ταῖς τῶν σῶν θαυμάτων ἀκτῖσιν, ὡς ἥλιος κατάφωτίζεις τὰ πέρατα καὶ τοὺς ἐν νόσοις κατακειμένους

λυτροῦσαι, ταῖς πρὸς Χριστὸν ἀπαύστοις πρεσβείαις σου.

Ὁ ἱερεύς: Σῶσον ὁ Θεὸς κ.λ.π.
Οἱ Κανόνες
Τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου.

Ὠδὴ α΄. Ἦχος α΄. Εἱρμὸς.

«Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας».

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καί, Χαίρετε, φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Ὁ Κανὼν τοῦ Ἁγίου.
Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Αμέτοχον ὄντα με, σοφίας πάσης καὶ χάριτος· καὶ νοῦν καὶ διάνοιαν ὅλως ἀδόκιμον, παιδαγώγησον, ὑμνεῖν σε τὸν φωσφόρον, Νικόλαον μάρτυρα τὸν παναοίδιμον.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μολύνας τὸ σῶμά μου, καὶ τὴν ψυχὴν ὁ πανάθλιος, προσφεύγω σοι Ἅγιε, καθικετεύων σε, τῇ πρεσβείᾳ σου, σωφρόνησον καὶ σῶσον, πασῶν με λυτρούμενος τῶν περιστάσεων.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Γεώδη κατέλιπες, ὡς νουνεχὴς παναοίδιμε, στρατείαν τὴν πρόσκαιρον ἀποσεισάμενος, καὶ αἰώνιον, κατέλαβες στρατείαν, ἀεὶ εὐφραινόμενος σὺν τοῖς συνάθλοις σου.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πλησθεὶς ἀγαπήσεως, θείας τρισμάκαρ Νικόλαε, βασάνους ὑπέμεινας καρτερικώτατα· καὶ ἀσκητικοῖς ἠγλαϊσμένος πόνοις, Χριστῷ προσενήνεξαι θῦμα πανάριστον.

Δόξα...

Τριάδα ἀμέριστον, ὑμνολογοῦντες δοξάζομεν, καρδίᾳ καὶ στόματι, θερμοῖς τοῖς δάκρυσιν, ἱκετεύοντες, αὐτὴν ἡμῖν πταισμάτων, ἄφεσιν δωρήσασθαι δι' ἀγαθότητα.

Καὶ νῦν...Θεοτοκίον.

Τὴν μόνην ἀμόλυντον, ὁ ῥυπαρὸς καὶ πανάσωτος, ἐγὼ ὑπερύμνητε, ὑμνεῖν οὐ σθένω σε,

ἀλλὰ δέομαι, τὰς φρένας φώτισόν μου, καὶ κάθαρον ἄσπιλε, ἵνα δοξάζω σε.

Καταβασία

«Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας».

Χριστὸς ἀνέστη... γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις, Ὅτι σὸν τὸ κράτος.

Ὠδὴ γ΄. Εἱρμὸς.

«Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα».

Δόξα τὴ Ἁγία Ἀναστάσει σου Κύριε.

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Δόξα τὴ Ἁγία Ἀναστάσει σου Κύριε.

Χθὲς συνεθαπτόμην σοι Χριστὲ συνεγείρομαι σήμερον ἀναστάντι σοι, συνεσταυρούμην σοι χθὲς, αὐτός με συνδόξασον Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δοξάζει τὴν μνήμην σου παμμάκαρ, ὁ κτίστης τῶν ὅλων καὶ Θεός, σὺ γὰρ αὐτὸν ἐδόξασας, γενναίοις ἀγωνίσμασιν· ὅθεν ἀξίως εἴληφας, τὰς ἀμοιβὰς τῶν καμάτων σου.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ζητῶν σε ὁ ἐξ ἑῴας ἄρχων, ἐν ὄρει Βουνένων ἀκριβῶς, ὡς εἶδέ σε ἐκλάμποντα, ἔνδον δρυῶν πανόλβιε· πολλῆς χαρᾶς ἐμπίπλαται, καὶ τὴν ὑγείαν ἀπέλαβεν.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀσκήσει στενὴν τρίβον ὁδεύσας, πρὸς πλάτος ὁδεύεις νῦν σοφέ, τοῦ οὐρανοῦ γηθόμενος, Χριστῷ συνὼν τῷ κτίστῃ σου· ὑπὲρ οὗ καὶ τὴν κάραν σου, ὑπὸ βαρβάρων ἀφῄρησαι.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τοῦ κόσμου τὰ πέρατα ἐξᾴδει, λαμπρῶς τὰ θαυμάσια τὰ σά, θαυματουργὲ Νικόλαε, καὶ σοῦ τὴν μνήμην ἔνδοξε, φαιδρῶς πανηγυρίζουσι, Χριστὸν ὑμνοῦντα τὸν Κύριον.

Δόξα...

Ἡ ἄκτιστος φύσις καὶ οὐσία, ἡ πανυπερούσιος Τριάς, καὶ βασιλεία μόνιμος, καὶ ὄντως ἀδιάδοχος, ζωῆς τῆς αἰωνίου σου, τοὺς σὲ ὑμνοῦντας ἀξίωσον.

Καὶ νῦν…Θεοτοκίον.

Θεσί με Θεὸς ἐν σοὶ σκηνώσας, δι' οἶκτον ἀμέτρητον Ἁγνή, κλαπέντα βρώσει πρότερον, ἀπάτῃ τῇ τοῦ ὄφεως, καὶ ἐκ φθορᾶς εἰς ἄφθαρτον, πάλιν ζωὴν εἰσοικίζει με.

Καταβασία

«Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα».

Χριστὸς ἀνέστη… γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις·Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν…

Κοντάκιον. Ἦχος πλ. δ΄.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος. Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Κάθισμα.
Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ λόγον.

Τοῦ σταυροῦ τῇ δυνάμει καθοπλισθείς, ἀπειλὰς τῶν βαρβάρων μὴ πτοηθείς, προθύμως διήνυσας, τὸν ἀγῶνα μακάριε· εὐτολμίᾳ ἐλέγξας αὐτῶν τὴν δυσέβειαν, καὶ σοφῶς ἐκδιδάξας τοῦ λόγου τὴν σάρκωσιν· ὅθεν τοὺς στεφάνους, παρ' αὐτοῦ ἐκομίσω, ἀξίους τῶν πόνων σου καὶ ἱδρώτων σου Ἅγιε, Ὁσιομάρτυς Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα…
Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐξ ἑῴας ἤστραψεν ὡς ἑωσφόρος, ὁ Χριστοῦ ἀήττητος, καὶ μέγας ὄντως ἀθλητής. Ὁσιομάρτυς Νικόλαος, ὃς ἐν Βουνένοις ἀσκήσας ἐνήθλησεν.

Καὶ νῦν. Ἦχος δ'.

Ἀνέστης ὡς ἀθάνατος, ἀπὸ τοῦ ᾅδου Σωτήρ, συνήγειρας τὸν κόσμον σου, τῇ Ἀναστάσει τῇ σῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔθραυσας ἓν ἰσχύϊ, τοῦ θανάτου τὸ κράτος, ἔδειξας Ἐλεῆμον, τὴν Ἀνάστασιν πᾶσι, διὸ σὲ καὶ δοξάζομεν, μόνε Φιλάνθρωπε.

ᾨδὴ δ΄. Εἱρμὸς.

«Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ᾿ ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστός ὡς παντοδύναμος».

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Ἄρσεν μέν, ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός, ὡς βροτὸς δέ, ἀμνὸς προσηγόρευται, ἄμωμος δέ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα, καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται.

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ, πρὸ τῆς σκιώδους κιβωτοῦ ἥλατο σκιρτῶν, ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ὁ καθήμενος ἐν δόξῃ.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Η σορὸς τῶν σῶν Λειψάνων, ἀθλοφόρε Νικόλαε, πᾶσι τοῖς νοσοῦσι, ῥῶσιν τε καὶ σθένος χαρίζεται· καὶ διασῴζει παντοίας περιστάσεως, τοὺς κραυγάζοντας, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σύμπασα ἡ Θετταλία, νέε Μάρτυς Νικόλαε, καὶ Ἑλλάς τε πᾶσα, μέγαν σε προστάτην ἐπλούτισαν· καὶ ἑορτάζουσι πάντες εὐφραινόμενοι, καὶ κραυγάζουσι, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οναρ ὤφθης ἀθλοφόρε, ἀσθενοῦντι τῷ ἄρχοντι, φήσας δραμὼν τάχει, ὄρει τῶν Βουνένων,εὑρήσεις με, παρὰ πηγὴν ἐν δρυσί, καὶ λήψῃ ἴασιν, τῆς δεινῆς ἀσθενείας, ὤ! θαῦμα παράδοξον.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ασπαζόμεθα ἐν πίστει, σὴν εἰκόνα Νικόλαε· δρύας τε πηγήν τε, χῶρον τῶν Βουνένων ὃν ἤρδευσας, μαρτυρικῷ σου παμμάκαρ θείῳ αἵματι, καὶ κραυγάζομεν, δόξα Χριστὲ τῇ δυνάμει σου.

Δόξα...

Εν τρισὶ τοῖς χαρακτῆρσιν, ἀνυμνῶ τὴν Θεότητα, τὸν Πατέρα μέλπω, ἅμα τῷ Υἱῷ σὺν τῷ Πνεύματι· μίαν οὐσίαν καὶ δόξαν ἕνα Κύριον, τὸν ὑμνούμενον ὑπὸ πασῶν τῶν δυνάμεων.

Καὶ νῦν...Θεοτοκίον.

Θεοτόκον ὡς τεκοῦσαν, σὲ Θεὸν μετὰ σώματος, ἀνυμνολογοῦμεν, πᾶσαν ἀποτρέποντες αἵρεσιν· ἐν ἑαυτῷ γὰρ ὁ Λόγος ἐξ αἱμάτων σου, σάρκα ἔμψυχον, ζωοπλαστήσας ἐπέφανεν.

Καταβασία

«Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ᾽ ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστός ὡς παντοδύναμος».

Χριστὸς ἀνέστη... γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις·Ὅτι ἀγαθός...

Ὠδὴ ε΄.. Ὁ Εἱρμὸς.

«Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μυρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα».

Δόξα τὴ Ἁγία Ἀναστάσει σου Κύριε.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ Ἅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Δόξα τὴ Ἁγία Ἀναστάσει σου Κύριε.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Ἐξέστη τὰ σύμπαντα.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λαρίσης ὑπέρμαχοι, πάσης δ᾽ Ἑλλάδος ὤφθητε, Νικόλαε μάρτυς τοῦ Κυρίου· σὺν Ναυουδίῳ καὶ Γρηγορίῳ σοφῷ, ἅμα Χριστοφόρῳ καὶ λοιποῖς, ὑμῖν συναθλήσασιν, ἀηττήτῳ φρονήματι

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μιχαήλ, Ἀκίνδυνε, Θεόδωρε, Παγκράτιε, Αἰμιλιανέ, καὶ Παντολέων· σὺν Ἁρμοδίῳ, καὶ Ἰωάννῃ σοφῷ, ἅμα Δημητρίῳ τῷ κλεινῷ, ἄφεσιν αἰτήσασθε, τοῖς ὑμᾶς ἑορτάζουσι

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐδέν σε ἐχώρισε, Χριστοῦ ἀγάπης ἔνδοξε, οὐ λόγχη, οὐ βέλος, οὐδὲ ξίφος· ἀλλ᾽ οὐδὲ θάνατος βιαιότατος, ταῦτα πάντα ἥδιστα ἡγοῦ, ἵνα τοῖς συνάθλοις σου, συγχορεύῃς αἰώνια.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Συντόνως ἀράμενος, Σταυρὸν τὸν σὸν πανόλβιε, Χριστῷ τῷ Θεῷ κατηκολούθεις· καὶ τούτου δὲμιμητὴς γέγονας, καὶ τῶν παθημάτων κοινωνός, ὅθεν τῆς λαμπρότητος, ἀπολαύεις πανάριστε.

Δόξα...

Τριὰς ὁμοούσιε, μονὰς ἡ τρισυπόστατος, ῥῦσαί με παντοίας ἐπηρείας· τοῦ ἀλλοτρίου καὶ καθοδήγησον, τρίβον εἰς εὐθεῖαν τοῦ ποιεῖν, τὰ εὐαρεστοῦντά σοι ὅπως τύχω ἀφέσεως.

Καὶ νῦν... Θεοτοκίον.

Πρὸς σέ μου τὴν ἅπασαν, ἐλπίδα κόρη τίθημι, πρὸς τοὺς οἰκτιρμοὺς καταφεύγω· βλάβης δαιμόνων δεῖξον ἀμέτοχον, τὴν καταποθεῖσάν μου ψυχὴν καὶ ἐξασθενήσασαν , ἡδονῶν ἐπικλίσεσιν.

Καταβασία

«Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα».

Χριστὸς ἀνέστη... γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις·Ὅτι ἡγίασται...

## Ὠδὴ ς΄. Εἱρμός.

«Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου».

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Φυλάξας τὰ σήμαντρα σῷα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον, ὡς Θεός, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρί, συνανέστησας, παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Ἐβόησε προτυπῶν.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Συνώνυμος τοῦ ἐν Μύροις Νικόλαε γέγονας, καὶ θαυμάτων, κατ᾽ἐκεῖνον ἀφθόνως μετείληφας· ἐκ κινδύνων σῴζων, τοὺς ἐν πίστει θερμῇ σοι προστρέχοντας.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ θαῦμα πρὸς λεπρὸν ὄντα Μάκαρ ἰάτρευσας, παραχρῆμα,

καθαρίσας τὴν ψυχὴν σὺν τῷ σώματι· ὃς σπουδῇ σὸν οἶκον, ἀνεδείματο μάρτυς Νικόλαε.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐκ ἄξιον ὦ παμμάκαρ σιγᾶν σὰ τεράστια, ἀλλ' εἰς δόξαν, τοῦ Κυρίου λαμπρῶς διηγήσασθαι· ἵνα ἀνυμνῆται, ὑπὸ πάντων πιστῶς καὶ δοξάζηται.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ αἴγλῃ τοῦ ζωοποιοῦ Σταυροῦ λαμπρυνόμενος, τῶν εἰδώλων, τὸ ζοφῶδες πανσόφως διέλυσας· τῶν βαρβάρων θράσος, ἐκνικήσας εἰς τέλος μακάριε.

Δόξα...

Τρισάκτινον τρισυπόστατον μίαν Θεότητα τὸν Πατέρα, σὺν Υἱῷ τε καὶ Πνεῦμα τὸ Ἅγιον· εὐσεβῶς κηρύττω, ἓν τὰ τρία Θεὸν ὁμοούσιον.

Καὶ νῦν... Θεοτοκίον.

Οὐρανώσας γεωθεῖσαν τὴν φύσιν πανάμωμε, τῶν ἀνθρώπων, καὶ φθαρεῖσαν, αὐτὴν ἐκαινούργησας· διὰ τοῦτο πόθῳ, ἀσιγήτοις φωναῖς σε γεραίρομεν.

Καταβασία

«Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου».

Χριστὸς ἀνέστη... γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις. Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

## Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Εξ ἑῴας σήμερον ἀναφανέντα, ὡς ἀστέρα πάμφωτον, καὶ τῆς Ἑλλάδος εἰς δυσμὰς , ὑπὲρ Χριστοῦ ἐναθλήσαντά, σε ἀνυμνοῦμεν τὸν Νέον Νικόλαον.

## Ἕτερον.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ζητῶν, τῶν κάτω κατεφρόνησας, καὶ κόσμον λιπὼν Θεῷ ἠκολούθησας. Ἐξ ἑῴας ἄριστε, ἐν Βουνένοις παρῴκησας, ἐν οἷς θῦμα γενόμενος, Χριστῷ προσενήνεξαι Νικόλαε.

## Ὁ Οἶκος.

Τοῦ Προδρόμου τὰς τρίβους διὰ ζήλου μάκαρ ἐσχηκώς, καὶ τὴν φωνὴν αὐτοῦ ἔνδον τῆς σῆς περιφέρων καρδίας, τὴν φάσκουσαν, μετανοεῖτε· ἀπάρας τῆς σῆς πατρίδος, ὑπερόπτης γενόμενος νεότητος, κόσμου, πλούτου καὶ ῥεούσης δόξης, οἷά τις ἀετὸς ὑπόπτερος ἵπτασαι ἐν

Βουνένοις τῆς Θετταλίας. Κᾀκεῖ τῆς διὰ Χριστὸν ποθουμένοις σοι ἡσυχίας τυχών, οὐ μόνον ὑπερβαλλούσῃ ἀσκήσει τὴν σὴν ψυχὴν κατεκάλυνας, ἀλλὰ καὶ μαρτυρικῷ στέφει, κατὰ τοὺς πάλαι ἐνδόξους Μάρτυρας, κατεκοσμήθης ἀείμνηστε· καὶ εὐῶδες θῦμα γενόμενος, Χριστῷ προσενήνεξαι Νικόλαε.

Συναξάριον

Τῇ Θ΄ τοῦ αὐτοῦ μηνὸς Μαΐου, μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου καὶ ἐνδόξου Ὁσιομάρτυρος Νικολάου τοῦ Νέου,
τοῦ ἐξ Ἀνατολῆς καὶ ἐν Βουνένοις τῆς Θεσσαλίας ἀσκήσαντος καὶ ἀθλήσαντος τοῦ Ἰαματικοῦ.

Στίχοι.

Γόνε Ἀσίας Ἑλλάδος κλέος
Πολλὰς ὑποστὰς Νικόλαε βασάνους,
Χαίρων ἀνῆλθες ἐν πόλῳ μάκαρ τάχος.

Ἀμφ’ ἐνάτῃ Νικόλαον ἐῷον γῆθεν ἄειραν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τοῦ Ἁγίου ἐνδόξου Προφήτου Ἡσαΐου.

Στίχοι.

Ὃς ἄσπορον προεῖδεν υἱομητρίαν,
Πρισθεὶς ἄναρχον εἶδεν υἱοπατρίαν.
Ἡσαΐας δ’ ὀρόων μέλλοντ’ ἐνάτῃ χειρὶ [πρίσθη

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Χριστοφόρου.

Στίχοι

Τὸν Χριστοφόρον οἶδά σε Χριστοφόρος,
Χριστῷ τυθέντα τῷ Θεῷ διὰ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, αἱ Ἅγιαι μάρτυρες Καλλινίκη καὶ Ἀκυλῖνα, αἱ διὰ τοῦ Ἁγίου Χριστοφόρου πιστεύσασαι τῷ Χριστῷ, σούβλαις ἀπὸ ποδῶν ἕως ὤμων διαπαρεῖσαι τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν Ἁγίων Μαρτύρων Ἐπιμάχου καὶ Γορδιανοῦ.

Ταῖς τοῦ σοῦ ἀθλοφόρου Νικολάου Χριστὲ καὶ πάντων τῶν Ἁγίων πρεσβείαις, ἐλέησον καὶ σῶσον ἡμᾶς.Ἀμήν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν (γ΄).

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος(γ΄).

Ὠδὴ ζ΄. Εἱρμὸς.

«Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ Πάθους τὸ θνητόν, ἀφθαρσίας

ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος».

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον, ὃν δὲ ὡς θνητόν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικὸν σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Ἅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου Κύριε.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας, τῆς Ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

Οὐκ ἐλάτρευσαν.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πληρωθήτωσαν αἰσχύνης οἱ παράνομοι, οἱ ἀπιστοῦντες Χριστῷ καὶ τοῖς ἁγίοις αὐτοῦ· ἡμεῖς δὲ πιστεύομεν εἰς σὲ φιλάνθρωπε, ὅτι δέδωκας, τὸν ἀθλοφόρον ἅπασιν, ἰατρεῖον τοῖς νοσοῦσι.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νῦν ἐξέλαμψεν ἡ χάρις τῶν θαυμάτων σου, μάρτυς ἀήττητε, ὥσπερ ἀστὴρ φωταυγής· καὶ παύει νοσήματα, ταῖς ἱκεσίαις σου, καὶ δαιμόνια, ἀποδιώκει Ἅγιε τῇ ἁφῇ τῶν σῶν λειψάνων.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥῦσαι Ἅγιε κινδύνων τοὺς ὑμνοῦντάς σε, ἐπιβουλῆς τε ἐχθρῶν, καὶ νοσημάτων πολλῶν· λιταῖς εὐπροσδέκτοις σου καὶ ἀποσόβησον, σμῆνος ἄθεον, Ἀγαρηνῶν πανένδοξε, ἵνα πόθῳ σε ὑμνῶμεν.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Εὐφροσύνως τὴν χαρμόσυνον γεραίρομεν, μνήμην σου ἔνδοξε, καὶ προσκυνοῦμεν σεπτῶς, σορὸν τῶν λειψάνων σου, συμφώνως ψάλλοντες, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Δόξα...

Προσκυνήσωμεν συμφώνως οἱ θεόφρονες, Τριάδα ἄναρχον, ἕνα Θεὸν τοῦ παντός, αὐτὴν δογματίζοντες ἀδιαμέριστον, προαιώνιον, καὶ ποιητὴν τῆς κρίσεως, εὐσεβῶς ὁμολογοῦντες.

Καὶ νῦν... Θεοτοκίον.

Ὑποτέτακται τῷ τόκῳ σου πανάχραντε, ὡς ποιητῇ καὶ Θεῷ, ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ τὰ κατα-

χθόνια καὶ ἀνυμνοῦσιν αὐτόν, ὃν ἱκέτευε, ἡμῖν πταισμάτων ἄφεσιν, παρασχεῖν τοῖς σὲ τιμῶσι.

Καταβασία

«Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ Πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος».

Χριστὸς ἀνέστη... γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις· Εἴη τὸ κράτος...

Ὠδὴ η΄. Εἱρμὸς.

«Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας».

Δόξα τὴ Ἁγία Ἀναστάσει σου Κύριε.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτόν, ὡς Θεόν εἰς τοὺς αἰῶνας.

Δόξα τὴ Ἁγία Ἀναστάσει σου Κύριε.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καὶ βορρᾶ, καὶ θαλάσσης, καὶ ἑῴας τᾶ τέκνα σου ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Δόξα τὴ Ἁγία Ἀναστάσει σου Κύριε.

Πάτερ παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Παῖδας εὐαγεῖς .

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τίς σε κατ᾽ ἀξίαν εὐφημήσει, Νικόλαε νικηφόρε παναοίδιμε; Τις δὲ ἀριθμήσει σου τὰ λαμπρὰ παλαίσματα· καὶ τὸ θαυμάτων μέγεθος τῶν σῶν πανένδοξε; Ἀλλὰ πόθῳ τιμῶμεν καὶ πίστει, τὸν δοξάσαντά σε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐκ γῆς σὺ πρὸς οὐρανοὺς ἀνέπτης, Νικόλαε τῶν μαρτύρων ἐγκαλλώπισμα, καὶ ἀπάτην ἅπασαν, τῶν δαιμόνων ἔφυγες· καὶ τῶν εἰδώλων ἅγιε τὴν ματαιότητα, διήλεγξας στεῤῥῶς καὶ νῦν κράζεις, σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπέβης ἐν αἵμασιν οἰκείοις, ὡς ἅρμασι στεφανῖτα παμμακάριστε,

καὶ πρὸς ὑπερκόσμια βέβηκας σκηνώματα· παρὰ Χριστοῦ ἐπάξια γερὰ ληψόμενος, καὶ νῦν σὺν τοῖς ἀγγέλοις κραυγάζεις, σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἵλεων γενέσθαι στεφηφόρε, τὸν μόνον παμβασιλέα καθικέτευε, τοῖς τὴν σὴν πανίερον, μνήμην ἑορτάζουσιν· ἀμπλακημάτων ἄφεσιν, τούτοις αἰτούμενος, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δόξα...

Τρισὶν ὑποστάσεσιν ὑμνοῦμεν, ἕνα Θεὸν τοῦ παντὸς τὸν ὑπερούσιον, ὃν Ἀγγέλων τάγματα, εὐλαβῶς δοξάζουσιν· ἐν τρισαγίοις ᾄσμασι καὶ μελωδήμασι, τὸν Κύριον ὑμνεῖτε βοῶντα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν... Θεοτοκίον.

Ὢ θαῦμα θαυμάτων πῶς ὁ πάσης, ἐπέκεινα κτίσεως Θεὸς ἡμῶν, κτίζεται καὶ πλάττεται, ἐκ τῆς Θεομήτορος· καὶ καινουργεῖ θελήματι, καὶ ἀναπλάττει με, δι' ἄμετρον αὐτοῦ εὐσπλαγχνίαν, καὶ διὰ θανάτου, παρέχει τὴν ζωήν μου.

Καταβασία

«Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας».

Χριστὸς ἀνέστη... γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις᾽ Ὅτι ηὐλόγηται...

Ὠδὴ θ´ τοῦ Πάσχα.

**Μεγάλυνον, ψυχή μου, τὸν ἐθελουσίως παθόντα καὶ ταφέντα καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.**

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

**Ἄγγελος ἐξαστράπτων ταῖς γυναιξὶν ἐβόα· Παύσασθε τῶν δακρύων, ὅτι Χριστὸς ἀνέστη.**

Ὢ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς! μεθ᾽ ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω, ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

**Ὅτι Χριστὸς ἀνέστη τὸν θάνατον πατήσας καὶ τοὺς νεκροὺς ἐγείρας, λαοί, ἀγαλλιᾶσθε.**

Ὦ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ· ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις· δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς βασιλείας σου.

Ἅπας γηγενής.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Χόρευε Ἑλλάς, ἰδίως δὲ Βούνενα καὶ ἡ ὑφήλιος, πανηγυριζέτω δέ, Χριστοῦ τὸ πλήρωμα τὴν πανένδοξον, τοῦ Νικολάου ἄθλησιν, καὶ ἐκβοάτω θερμῶς· χαίροις μάκαρ, ἀσκητῶν ἀγλάϊσμα, καὶ μαρτύρων φαιδρὸν ἀγαλλίαμα.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ψάλλατε λαοί, καὶ ᾄσατε ἅπαντες ὡς ὁ Προφήτης βοᾷ, ὁ Θεός, δοξάζεται, ἐν τοῖς ἁγίοις αὐτοῦ ἑκάστοτε, καὶ τοὺς αὐτοῦ θεράποντας στέφει ἐν χάριτι· καὶ δαιμόνων, λύει μηχανήματα, καὶ βροτοὺς διασῴζει ὡς εὔσπλαγχνος.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ρεύμασι τῶν σῶν, αἱμάτων μακάριε, πλάνην κατέσβεσας, τῶν εἰδώλων ἅπασαν, καὶ Ἐκκλησίας Χριστοῦ τὸ πλήρωμα, ὡς νικητὴς πανάριστος, ἅπαν ἐφαίδρυνας· διὰ τοῦτο, πόθῳ σὲ γεραίρομεν, καὶ ὑμνοῦμεν συμφώνως τὴν μνήμην σου.

Ἅγιε του Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δέχου εὐμενῶς, Νικόλαε ἔνδοξε νίκης φερώνυμε, ὕμνους τοὺς δε Ἅγιε, οὓς ἐκ χειλέων ἀνάγνων φέρομεν, καὶ τὴν σεπτήν σου ἄθλησιν πανηγυρίζομεν· ἐκβοῶντες, σπεῦσον ἐξελοῦ ἡμᾶς, πειρασμῶν ἐκ παντοίων καὶ θλίψεων.

Δόξα...

Δεῦτε οἱ πιστοί, Τριάδα ἀμέριστον ὑμνολογήσωμεν, ἄναρχον ἀΐδιον, οὐσίαν μίαν καὶ κυριότητα, τὴν τοῦ παντὸς δεσπόζουσαν καὶ διὰ ἔ-
λεος· συγχωροῦσαν, τοῖς βροτοῖς τὰ πταίσματα, καὶ παρέχουσαν δόξαν ἀθάνατον.

Καὶ νῦν... Θεοτοκίον.

Φώτισον ἁγνή, τῆς ψυχῆς μου τὰὄμματα φῶς ἡ κυήσασα, μὴ καταλαβέτω με, τῆς ἁμαρτίας σκότος τὸν δείλαιον, μηδὲ βυθὸς καλύψῃ με τῆς ἀπογνώσεως· ἀλλ' αὐτή με, σῶσον καὶ κυβέρνησον, πρὸς λιμένα τοῦ θείου θελήματος.

**Ὁ ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ· Χαῖρε· ὁ σὸς υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.**

«Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.»

Χριστὸς ἀνέστη... γ᾽

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ἐκφωνησις· Ὅτι σὲ αἰνοῦσι...

Ἐξαποστειλάριον αὐτόμελον
Ἦχος β᾽

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.

Ἦχος δ΄. Ἐπεφάνη ὁ Σωτήρ.

Διὰ τὸν πόθον τοῦ Χριστοῦ, τὸ αἷμά σου ἐξέχεας, Νικόλαε γεναιόφρον, καὶ τὴν ὀφρὺν τοῦ δυσμενοῦς, ἀνδρείως ἐταπείνωσας, διὰ τοῦτό σε πάντες, φαιδρῶς ἑορτάζομεν.

Ἕτερον.
Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῶν φιλεόρτων τὸ στῖφος, φαιδρῶς πανηγυριζέτω, τὴν μνήμην τοῦ πανενδόξου, τρισμάκαρος Νικολάου, ὃς αἵματι μαρτυρίου, τὴν Ἐκκλησίαν φαιδρύνει.

Καὶ τῆς Ἑορτῆς.
Ἦχος β΄.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ
Ἦχος πλ. α΄.

**Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.**

**Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ· Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.**

**Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.**

Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου· οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγγελοι, οὐκ ᾔσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές σε στρατιῶται· ἀμφότερα γὰρ ἐσφράγισται τοῖς ἐρευνῶσι, πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον, ὃ

ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

**Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.**

Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ δεσμὰ διαρρήξας, τοῦ μνήματος ἀνέστης, καταλιπὼν σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου, καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον καὶ σῶσον ἡμᾶς.

**Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.**

Κύριε, αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν σὲ τὸν Χριστόν, τὸν δι᾽ ἡμᾶς παθόντα, καὶ προσελθοῦσαι, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα, καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· Ἀνέστη ὁ Κύριος, εἴπατε τοῖς Μαθηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σῴζων τὰς ψυχὰς ἡμῶν.

**Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.**

Κύριε, ὥσπερ ἐξῆλθες, ἐσφραγισμένου τοῦ, τάφου, οὕτως εἰσῆλθες, καὶ τῶν θυρῶν κεκλεισμένων, πρὸς τοὺς μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη, ἅπερ κατεδέξω Σωτὴρ μακροθυμήσας, ὡς ἐκ σπέρματος Δαυΐδ, μώλωπας ὑπήνεγκας, ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, κόσμον ἠλευθέρωσας. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον καὶ σῶσον ἡμᾶς.

**Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.**

Προσόμοια τοῦ Ἁγίου.
Ἦχος πλ. δ´.
Ὢ τοῦ παραδόξου θαύματος .

Ὢ τοῦ παραδόξου θαύματος, νέος, ἀστὴρ φαεινός, τῇ Ἑλλάδι ἐξέλαμψεν, ἐξ ἑῴας ἄδυτος, καταλάμπων τὰ πέρατα. Ὁ θεῖος ὄντως μάρτυς Νικόλαος, καὶ διασῴζει τοὺς κινδυνεύοντας· λύει νοσήματα, καὶ δαιμόνων φάλαγγας ἀποσοβεῖ, καὶ πάθη δυσίατα, Χριστοῦ τῇ χάριτι.

**Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.**

Χαίροις Ἀγγέλων ἐφάμιλλε, καὶ ἀθλητῶν καλλονή, Προφητῶν Αποστόλων τε, καὶ Δικαίων σύσκηνε, Ὀρθοδόξων ἀγλάϊσμα· χηρῶν προστάτα, καὶ πενομένων τροφεῦ, τῶν ἀσθενούντων ἀκέστορ ἄριστε· πάντων

ὑπέρμαχε, τῶν πιστῶς αἰτούντων σε, καὶ εὐσεβῶς, μνήμην ἐκτελούντων σου, μάρτυς Νικόλαε.

Στίχ. **Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.**

Ἅπαντες πίστει συνδράμωμεν, τῇ τῶν λειψάνων σορῷ, Νικολάου τοῦ μάρτυρος, φαιδρῶς ἑορτάζοντες, καὶ Χριστὸν ἱκετεύσωμεν· τὸν κτίστην πάντων, Θεὸν καὶ Κύριον, ὅπως πρεσβείαις τοῦ ἀθλοφόρου αὐτοῦ· πάντας λυτρώσηται, ἀπὸ πάσης θλίψεως καὶ τοῦ πυρὸς τοῦ διαιωνίζοντος, ὡς ὑπεράγαθος.

Στίχ. **Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Ὁσιομάρτυς Νικόλαε, περιουσίᾳ θερμῇ, τῆς Χριστοῦ ἀγαπήσεως, σαρκὸς κατεπάτησας, τὸ χαμαίζηλον φρόνημα· καὶ τὴν ψυχήν σου, ἀρετῶν κάλλεσι καταλαμπρύνας θεοειδέστατα· πλάνην διήλεγξας, δυσεβούντων Ἅγιε, ὑφ᾽ ὧν τὸ ζῆν, μάκαρ ἀφαιρούμενος, χορεύεις ἄληκτα.

Εἶτα τὰ Στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν Στίχων αὐτῶν.
Ἦχος πλ. αʹ.

Στίχ. **Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.**

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, Πάσχα καινόν, Ἅγιον, Πάσχα μυστικόν, Πάσχα πανσεβάσμιον, Πάσχα Χριστὸς ὁ λυτρωτής, Πάσχα ἄμωμον, Πάσχα μέγα, Πάσχα τῶν πιστῶν, Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν, Πάσχα, πάντας ἁγιάζον πιστούς.

Στίχ. **Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.**

Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ᾽ ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ, τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

Στίχ. **Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.**

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ;

ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. **Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.**

Πάσχα τὸ τερπνόν, Πάσχα Κυρίου, Πάσχα, Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε, Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα, ὢ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

Δόξα... Ἦχος α΄.

Ἀγῶνα διπλοῦν ἠγωνίσω, Ἅγιε Νικόλαε· τὸν δρόμον τετέλεκας τῆς ἀσκήσεως καὶ ἀθλήσεως διὸ ἐν ὑψίστοις σὺν Ἀγγέλοις χορεύεις, ἀντάξια τῶν πόνων σου, εἰληφὼς τὰ ἄνω Βασίλεια· ἀλλὰ πρέσβευε καὶ ὑπὲρ ἡμῶν παμμακάριστε, τῶν πιστῶς ἑορταζόντων, τὴν πανσεβάσμιον μνήμην σου.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Ἦχος πλ. α΄.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Χριστὸς ἀνέστη ἐκ γ΄.

Καὶ Ἀπόλυσις.



## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀντίφωνα καὶ Εἰσοδικὸν τοῦ Πάσχα.Μετὰ τὴν Εἴσοδον Χριστὸς Ἀνέστη ἐκ γ΄ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, Προλαβοῦσαι τὸν Ὄρθρον καὶ τὸ Κοντάκιον Εἰ καὶ ἐν Τάφω.

Ἀπόστολον ζήτει ἐν τῇ μνήμῃ τοῦ Μεγαλομάρτυρος Δημητρίου· Εὐαγγέλιον της Πέμπτης της Διακαινησίμου.

Εἰς τὸ Ἐξαιρέτως Ὁ Ἄγγελος ἐβόα,Φωτίζου,φωτίζου, ἀντὶ τοῦ Εἰῇ τὸ ὄνομα, το Χριστὸς Ἀνέστη.

